ἐγένετο τοῖς βασιλεῦσιν τοῦ Ισραηλ. 15ἕως τοὺς κληρονόμους ἀγάγω 15
σοι, κατοικοῦσα Λαχις κληρονομία, ἕως Οδολλαμ ἥξει ἡ δόξα τῆς
θυγατρὸς Ισραηλ. 16ξύρησαι καὶ κεῖραι ἐπὶ τὰ τέκνα τὰ τρυφερά 16
σου, ἐμπλάτυνον τὴν χηρείαν σου ὡς ἀετός, ὅτι ᾐχμαλωτεύθησαν
ἀπὸ σοῦ.
1Ἐγένοντο λογιζόμενοι κόπους καὶ ἐργαζόμενοι κακὰ ἐν ταῖς 2
κοίταις αὐτῶν καὶ ἅμα τῇ ἡμέρᾳ συνετέλουν αὐτά, διότι οὐκ ἦραν
πρὸς τὸν θεὸν τὰς χεῖρας αὐτῶν· 2καὶ ἐπεθύμουν ἀγροὺς καὶ διήρ- 2
παζον ὀρφανοὺς καὶ οἴκους κατεδυνάστευον καὶ διήρπαζον ἄνδρα
καὶ τὸν οἶκον αὐτοῦ, ἄνδρα καὶ τὴν κληρονομίαν αὐτοῦ. 3διὰ τοῦτο 3
τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ λογίζομαι ἐπὶ τὴν φυλὴν ταύτην κακά,
ἐξ ὧν οὐ μὴ ἄρητε τοὺς τραχήλους ὑμῶν καὶ οὐ μὴ πορευθῆτε
ὀρθοὶ ἐξαίφνης, ὅτι καιρὸς πονηρός ἐστιν. 4ἐν τῇ ἡμέρᾳ ἐκείνῃ 4
λημφθήσεται ἐφ᾽ ὑμᾶς παραβολή, καὶ θρηνηθήσεται θρῆνος ἐν μέλει
λέγων Ταλαιπωρίᾳ ἐταλαιπωρήσαμεν· μερὶς λαοῦ μου κατεμετρήθη
ἐν σχοινίῳ, καὶ οὐκ ἦν ὁ κωλύσων αὐτὸν τοῦ ἀποστρέψαι· οἱ
ἀγροὶ ἡμῶν διεμερίσθησαν. 5διὰ τοῦτο οὐκ ἔσται σοι βάλλων σχοι- 5
νίον ἐν κλήρῳ ἐν ἐκκλησίᾳ κυρίου. 6μὴ κλαίετε δάκρυσιν, μηδὲ 6
δακρυέτωσαν ἐπὶ τούτοις· οὐ γὰρ ἀπώσεται ὀνείδη. 7ὁ λέγων 7
Οἶκος Ιακωβ παρώργισεν πνεῦμα κυρίου· εἰ ταῦτα τὰ ἐπιτηδεύματα
αὐτοῦ ἐστιν; οὐχ οἱ λόγοι αὐτοῦ εἰσιν καλοὶ μετ᾽ αὐτοῦ καὶ ὀρθοὶ
πεπόρευνται; 8καὶ ἔμπροσθεν ὁ λαός μου εἰς ἔχθραν ἀντέστη· 8
κατέναντι τῆς εἰρήνης αὐτοῦ τὴν δορὰν αὐτοῦ ἐξέδειραν τοῦ ἀφ-
ελέσθαι ἐλπίδα συντριμμὸν πολέμου. 9διὰ τοῦτο ἡγούμενοι λαοῦ μου 9
ἀπορριφήσονται ἐκ τῶν οἰκιῶν τρυφῆς αὐτῶν, διὰ τὰ πονηρὰ ἐπι-
τηδεύματα αὐτῶν ἐξώσθησαν· ἐγγίσατε ὄρεσιν αἰωνίοις. 10ἀνάστηθι 10
καὶ πορεύου, ὅτι οὐκ ἔστιν σοι αὕτη ἡ ἀνάπαυσις ἕνεκεν ἀκαθαρ-
σίας. διεφθάρητε φθορᾷ, 11κατεδιώχθητε οὐδενὸς διώκοντος· πνεῦμα 11
ἔστησεν ψεῦδος, ἐστάλαξέν σοι εἰς οἶνον καὶ μέθυσμα. καὶ ἔσται
ἐκ τῆς σταγόνος τοῦ λαοῦ τούτου 12συναγόμενος συναχθήσεται 12
Ιακωβ σὺν πᾶσιν· ἐκδεχόμενος ἐκδέξομαι τοὺς καταλοίπους τοῦ
Ισραηλ, ἐπὶ τὸ αὐτὸ θήσομαι τὴν ἀποστροφὴν αὐτῶν· ὡς πρόβατα
ἐν θλίψει, ὡς ποίμνιον ἐν μέσῳ κοίτης αὐτῶν ἐξαλοῦνται ἐξ ἀν-
θρώπων. 13διὰ τῆς διακοπῆς πρὸ προσώπου αὐτῶν διέκοψαν καὶ 13
διῆλθον πύλην καὶ ἐξῆλθον δι᾽ αὐτῆς, καὶ ἐξῆλθεν ὁ βασιλεὺς αὐτῶν
πρὸ προσώπου αὐτῶν, ὁ δὲ κύριος ἡγήσεται αὐτῶν.

14 εγενετο] -νοντο BW$^c$*LC* | του > AW*LC* || 15 αγαγω σοι *LC*$^{(\dagger)}$] -γωσιν BAQW

**2** 2 ανδρα ult.] pr. και BQ$^{mg\dagger}$ (in *O* sub ※) || 3 ορθροι A† || 4 ημων] υμ. AQW | διεμερισθησαν] διεμετρηθ. AQ*L* || 6 τουτοις] -τω AQ || 8 αντεστη] αντικατεστη A || 9 δια τουτο > B† = 𝔐 || 10 η A] > BQ*LC* (*C* om. etiam αυτη praec.) || 12 ισραηλ] λαου τουτου A† | αυτων 1$^0$] -του B† || 13 και 1$^0$ > A†